Πει. Τί τὸ πρᾶγμα τουτί; Αγγ. δεινότατα πεπόνθαμεν. A
Τῶν γὰρ θεῶν τις ἄρτι τῶν παρὰ τοῦ Διός,
Διὰ τῶν πυλῶν εἰσέπτατ' εἰς τὸν ἀέρα.
Λαθὼν κολοιοὺς φύλακας ἡμεροσκόπους.
Πει. Ω δεινὸν ἔργον καὶ σχέτλιον εἰργασμένος.
Τίς τῶν θεῶν; Αγγ. οὐκ ἴσμεν, ὅτι δ' εἶχε πτερά,
B Τοῦτ' ἴσμεν. Χο. οὔκουν δῆτα περιπόλους ἐχρῆν
Πέμψαι κατ' αὐτὸν εὐθύς. Αγγ. ἀλλ' ἐπέμψαμεν
Τρισμυρίους ἱέρακας ἱπποτοξότας.
Χωρεῖ δὲ πᾶς τις ὄνυχας ἠγκυλωμένος.
Κερχνῆς. τριόρχης. γύψ. κύμινδις. αἰετός.
Ῥύμῃ τε καὶ πτεροῖσι καὶ ῥοιζήμασιν
C Αἰθὴρ δονεῖται, τοῦ θεοῦ ζητουμένου.
Κἄστ' οὐ μακρὰν ἄπωθεν. ἀλλ' ἐνταῦθά που
Ἤδη 'στιν. Χο. οὐκοῦν σφενδόνας δεῖ λαμβάνειν,
Καὶ τόξα. Αγγ. χώρει δεῦρο πᾶς ὑπηρέτης.
Τόξευε πᾶς τις. σφενδόνην τίς μοι δότω.

A *Pi. Quæ res hæc? Nv. Grauissima passi sumus.*
*Horum enim deorum aliquis nuper illorum apud Iouem*
*Per portas inuolauit in aerem,*
*Latens graculos custodes diei speculatores.*
*Pi. O graue opus, & miserabile operans.*
*Quis deorum? Nv. Non scimus, quòd autem haberet pennas,*
B *Hoc scimus. CH. Non igitur vagatores oportebat*
*Mittere in ipsum statim. Nv. Sed misimus*
*Ter mille accipitres arcigeros:*
*Ibat autem omnis vngues curuatus,*
*Cerchneus, triorchnes, vultur, cymindis, aquila.*
*Impetuq; & alis, & strepitibus*
*Æther mouebatur, cùm Deus quæreretur.*
C *Et est non longè ab hinc, sed hic*
*Iam est. CH. Igitur fundas oportet capere,*
*Et arcus. Nv. Veni huc omnis serue,*
*Sagittam omnis aliquis, fundam aliquis mihi det.*

Σχόλια. Εἰς τὸν ἀέρα.] δέον εἰπεῖν εἰς τὴν πόλιν. Ἡμεροσκόπους.] τοὺς ἐν ἡμέρᾳ φρουροῦντας. Τοῦτ' ἴσμεν.] πρὸς τὴν ἐν Ἰλιάδι γραφὴν τήν, χθιζὸς ἔβη μετὰ δαῖτα. οὕτως ἀξιοῦσιν Ἀριστοφάνην γράφειν. Περιπόλους.] τοὺς φύλακας. ἢ ζητητάς ἀπὸ τοῦ περιπολεῖν. τὸ δὲ ἑξῆς, οὐκ ἐχρῆν περιπόλους πέμψαι. Ἱπποτοξότας.] ἀπὸ τοῦ ἵππου τὴν ὀξεῖαν αὐτῶν πτῆσιν δηλοῖ. ἀπὸ δὲ τοῦ τόξου τὸ ἐπικαμπὲς τῶν ὀνύχων. Ἠγκυλωμένος.] ἀγκύλη εἶδος ἀκοντίου. Κύμινδις.] τὴν κύμινδιν οὐκ ἀνέγραψεν ὁ Καλλίμαχος, μήποτε κίμινδις γραπτέον. ὁ δὲ τριόρχης, εἶδος ἱέρακος. Ῥύμῃ.] φορᾷ βιαίᾳ. D

ΣΤΡΟΦΗ κώλων ια'.

Χο. Πόλεμος αἴρεται,
Πόλεμος οὐ φατός,
Πρὸς ἐμὲ καὶ θεούς.
Ἀλλὰ φύλαττε πᾶς
Ἀέρα περινέφελον,
Ὃν γ' Ἔρεβος ἐτέκετο.
Μή σε λάθῃ θεῶν
Τὶς ταύτῃ περῶν.
Ἄθρει δὲ πᾶς κύκλῳ σκοπῶν,
Ὡς ἐγγὺς ἤδη δαίμονος πεδαρσίου
Δίνης πτερωτὸς φθόγγος ἐξακούεται.

INVERSIO membrorum vndecim.

*CH. Bellum erigitur,*
*Bellum indicibile,*
E *Ad me & deos.*
*Sed serua omnis*
*Aerem circumnebulatum,*
*Quem erebus peperit,*
*Ne te lateat deorum*
*Aliquis hac transiens.*
*Vide autem omnis circuitu speculans*
*Quòd propè iam dæmonis alti,*
*Reuolutionis volatilis vox exauditur.*
F

Σχόλια. Πόλεμος αἴρεται.] εἴσθεσις χοροῦ ἐπῳδικὴ κώλων τροχαϊκῶν ἐπιμεμιγμένων χορείοις ἤτοι τριβράχεσι καὶ δακτύλοις, πενθημιμερῶν ή, ὧν τὰ μὲν πρῶτα τρία καὶ παιωνικὰ εἰ βούλει ποιήσει ἡμιόλια. τὸ δ' τροχαϊκὸν ἐκ δακτύλου πενθημιμερές. τὸ ε' καὶ ς' ἰθυφαλλικά. τὸ ζ' καὶ η' τροχαϊκὰ πενθημιμερῆ. ἐν ἐκθέσει δὲ ἰαμβικὰ τρία ὧν τὸ α' δίμετρον ἀκατάληκτον. οἱ δὲ δύο τρίμετροι ἀκατάληκτοι. ἐπὶ τῷ τέλει κορωνίς. Πόλεμος αἴρεται.] διὰ τὴν ὑπερβολὴν ἀντὶ τοῦ ἐγείρεται καὶ μετεωρίζεται. Ἀέρα περινέφελον.] ἀέρα λέγει, τὴν ἀορασίαν. τὸ σκότος. Πεδαρσίου.] μετεώρου. πετομένου. παρὰ τὸ ἐκ τοῦ πέδου αἴρεσθαι.

G

ΠΕΙΣΘΕΤΑΙΡΟΣ,
ΙΡΙΣ.

PISTHETERVS,
IRIS.

BISET. Κορωνὶς στίχων ξγ'